φάσκεν δ' ὥς μιν ἔτικτε καὶ ὡς ἀτίτηλέ μιν αὐτή.
ἡ δ' ἑτέρη κρατερῇσι βιωομένη παλάμῃσιν
εἴρυεν οὐκ ἀέκουσαν, ἐπεὶ φάτο μόρσιμον εἶο
ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρώπειαν.
ἡ δ' ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον.
ἑζομένη δ' ἐπὶ δηρὸν ἀκὴν ἔχεν, ἀμφοτέρας δέ
εἰσέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.
ὀψὲ δὲ δειμαλέην ἀνενείκατο παρθένος αὐδήν·
'τίς μοι τοιάδε φάσματ' ἐπουρανίων προΐηλεν;
ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι;
τίς δ' ἦν ἡ ξείνη τὴν εἴσιδον ὑπνώουσα;
ὥς μ' ἔλαβε κραδίην κείνης πόθος, ὥς με καὶ αὐτή
ἀσπασίως ὑπέδεκτο καὶ ὡς σφετέρην ἴδε παῖδα.
ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρήνειαν ὄνειρον'.
"Ως εἰποῦσ' ἀνόρουσε, φίλας δ' ἐπεδίζεθ' ἑταίρας
ἥλικας οἰέτεας θυμήρεας εὐπατερείας
τῇσιν ἀεὶ συνάθυρεν ὅτ' ἐς χορὸν ἐντύνοιτο
ἢ ὅτε φαιδρύνοιτο χρόα προχοῇσιν ἀναύρων
ἢ ὁπότ' ἐκ λειμῶνος εὔπνοα λείρι' ἀμέργοι.
αἳ δέ οἱ αἶψα φάανθεν, ἔχον δ' ἐν χερσὶν ἑκάστη
ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο
τερπόμεναι ῥοδέῃ τε φυῇ καὶ κύματος ἠχῇ.
αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρώπεια
θηητόν, μέγα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο
ὃν Λιβύῃ πόρε δῶρον ὅτ' ἐς λέχος Ἐννοσιγαίου